τῷ κομῶν, κἂν τῶν πολλῶν καὶ τοῦ δήμου, πρὸς τοιοῦτον γάμον ἐλθεῖν. Εἰ δέ τις ἀπὸ τοῦ παρόντος, τὰ διωρισμένα ταῦτα θέμενος παρ' οὐδὲν, πρὸς τὸν τοιοῦτον ἑαυτὸν ἐπιῤῥίψειε γάμον, ἢ ἐπιδῷ τέκνα, τῆς Ἐκκλησίας (1) οὗτος ἐκκήρυκτος ἔσται πάσας τὰς ἡμέρας τοῦ βίου αὐτοῦ· καὶ οὐ πρότερον δεχθήσεται εἰς μετάνοιαν, πρὶν ἂν διασπάσῃ τὸν γάμον, κἂν φθάσῃ παῖδας ἀποτεκεῖν· ὁ δὲ τῷ τοιούτῳ γάμῳ εὐχὴν ἐπιδοὺς ἱερεὺς, καθαιρέσει τελείᾳ ὑποπεσεῖται. Διὸ καὶ τὰ ὡρισμένα ἐνταῦθα ἐξετέθη, καὶ σφραγισθέντα τῷ χαρτοφυλακείῳ τῆς τοῦ Θεοῦ Λόγου Σοφίας, εἰς ὑπόμνησιν τοῖς ἐσομένοις ἐπρυτανεύθη, κατὰ τὴν κα'. τοῦ Φεβρουαρίου μηνὸς τῆς ι'. ἐπινεμήσεως, ἐν ἔτει ͵ςφε' (2).

Οἱ δὲ μεθ' ἡμῶν συνδιασκεψάμενοι καὶ συνδιορισάμενοι ταῦτα μητροπολῖται, εἰσὶν οὗτοι· Ἰωάννης, Ἡρακλείας· Ἰωάννης, Ἀγκύρας· Λέων, Σάρδεων· Στέφανος, Νικομηδείας· Δανιὴλ, Χαλκηδόνος· Θεόδωρος, Μελιτηνῆς· Ἰωάννης, Τυάνων· Πέτρος, Γαγγρῶν· Ἰωάννης, Καρίας· Βασίλειος, Ἰκονίου· Θεοφύλακτος, Ἀντιοχείας· Ἰωάννης, Συλαίου· Θεοδήγιος, Ἀθηνῶν· Στυλιανὸς, Λαρίσσης· Γεώργιος, Τραϊανουπόλεως· Λέων, Κατάνης· Εὐθύμιος, Φιλίππων· Ἀρσεβὴρ, Ἱεραπόλεως· Βασίλειος, τῆς ἁγίας Σεβερινῆς· Νικόλαος, Νέων Πατρῶν· Στέφανος, Κοτυαείου· Λεόντιος, Σεῤῥῶν· Βασίλειος, Πομπηϊουπόλεως· Φίλιππος, Παρίου· Λέων, Κυψέλων· Κωνσταντῖνος, Κίου· Ἰωάννης, Δέρκου· Ἰωάννης, Λευκάδος· Θεόδωρος, Ῥοδίων (3)· καὶ Κωνσταντῖνος, Σουγδίας (4).

## *Ἑρμηνεία τοῦ Ζωναρᾶ.*

Ὁ συνοδικὸς οὗτος τόμος, εἰ καὶ πολλαῖς παρεκβάσεσι κέχρηται, ἀλλὰ τὸ ὅλον ἐκ τούτου συνάγει· κωλύει γὰρ δύο ἀδελφοὺς, δύο ἐξαδέλφας λαβεῖν· καὶ τὸ ἀνάπαλιν, δύο ἐξαδέλφας, δύο ἀδελφούς· καὶ θεῖον καὶ ἀνεψιὸν, ἀδελφὰς δύο· καὶ αὖθις ἀδελφοὺς δύο, θείαν καὶ ἀνεψιὰν, καὶ πλέον οὐδέν.

(1) Λ. ἐν περισσῷ. — τῇ Ἐκκλησίᾳ Λ. — (2) ͵ςυπθ' παρ' ἄλλοις, Λ. ἐν περισσῷ. (3) Ῥοΐων Λ. — (4) ὅρα καὶ Νομοκάν. Τίτλ. ΙΓ'. Κεφ. Β'. ἐν τῇ ἑρμηνείᾳ τοῦ Βαλσαμῶνος. Τόμ. Α. σελ. 282.